Τῇ Κυριακῇ Πρωΐ

Μηναῖον - ΤΗ ΙΑ' - ΙΖ' ΟΚΤΩΒΡΙΟΥ

Τῶν Ἁγίων Πατέρων τῆς Ζ' Συνόδου

ΟΡΘΡΟΣ

Χορός:

Ἦχος β'.

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α'. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.*

Στίχ. β'. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ'. *Παρὰ Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.*

ΑΠΟΛΥΤΙΚΙΟΝ ΑΝΑΣΤΑΣΙΜΟΝ. *Ἦχος β'.*

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον, ἡ ζωὴ ἡ ἀθάνατος, τότε τὸν ᾅδην ἐνέκρωσας, τῇ ἀστραπῇ τῆς θεότητος· ὅτε δὲ καὶ τοὺς τεθνεῶτας, ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον· Ζωοδότα Χριστέ, ὁ Θεὸς ἡμῶν δόξα σοι.

Δόξα. ΤΩΝ ΠΑΤΕΡΩΝ. *Ἦχος πλ. δ'.*

Ὑπερδεδοξασμένος εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ φωστῆρας ἐπὶ γῆς, τοὺς Πατέρας ἡμῶν θεμελιώσας, καὶ δι' αὐτῶν, πρὸς τὴν ἀληθινὴν πίστιν, πάντας ἡμᾶς ὁδηγήσας. Πολυεύσπλαγχνε δόξα σοι.

Καὶ νῦν. ΘΕΟΤΟΚΙΟΝ. *Ἦχος πλ. δ'.*

Ὁδι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου, καὶ σταύρωσιν ὑπομείνας Ἀγαθέ, ὁ θανάτῳ τὸν θάνατον σκυλεύσας, καὶ ἔγερσιν δείξας ὡς Θεός, μὴ παρίδῃς οὓς ἔπλασας τῇ χειρί σου· δεῖξον τὴν φιλανθρωπίαν σου Ἐλεῆμον· δέξαι τὴν τεκοῦσάν σε Θεοτόκον, πρεσβεύουσαν ὑπὲρ ἡμῶν, καὶ σῶσον Σωτὴρ ἡμῶν, λαὸν ἀπεγνωσμένον.

Ἱερεύς: Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Χορός: Κύριε, ἐλέησον.

On Sunday Morning

Menaion - October 11-17

The Holy Fathers of the 7th Council

MATINS

Choir:

Mode 2.

God is the Lord and hath appeared unto us. Blessed is He that cometh in the Name of the Lord.

Verse 1. O give thanks unto the Lord and call upon His Holy Name.

Verse 2. All the nations compassed me round about, and by the Name of the Lord I warded them off.

Verse 3. This is the Lord's doing, and it is marvelous in our eyes.

RESURRECTIONAL APOLYTIKION. *Mode 2.*

When Thou didst descend unto death, O Life Immortal, then didst Thou slay Hades with the lightning of Thy Divinity. And when Thou didst also raise the dead out of the nether world, all the powers of the heavens were crying out: O Giver of life, Christ our God, glory be to Thee.

Glory. FOR THE FATHERS. *Mode pl. 4.*

MOST glorified art Thou, O Christ our God, Who hast established our Fathers as luminous stars upon the earth, and through them didst guide us all to the true Faith. O Most Merciful One, glory be to Thee.

Both now. THEOTOKION. *Mode pl. 4.*

O Thou Who for our sakes wast born of a Virgin, and didst suffer crucifixion, O Good One, and didst despoil death by death, and as God, didst reveal the Resurrection: Disdain them not which Thou hast fashioned with Thy hand; show us Thy love for mankind, O Merciful One; accept the Theotokos that gave Thee birth, who intercedeth for us; and do Thou, our Saviour, save a despairing people.

Priest: Again and again in peace let us pray to the Lord.

Choir: Lord, have mercy.

Ἱερεύς: Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Χορός: Κύριε, ἐλέησον.

Ἱερεύς: Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Χορός: Σοί, Κύριε.

Ἱερεύς: Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Χορός: Ἀμήν.

ΚΑΘΙΣΜΑ Α'.

Ἦχος β'.

Ὁ εὐσχήμων Ἰωσήφ, ἀπὸ τοῦ ξύλου καθελών, τὸ ἄχραντόν σου Σῶμα, σινδόνι καθαρᾷ εἱλήσας καὶ ἀρώμασιν, ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο· ἀλλὰ τριήμερος ἀνέστης, Κύριε, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Δόξα.

Ταῖς Μυροφόροις γυναιξί, παρὰ τὸ μνῆμα ἐπιστάς, ὁ Ἄγγελος ἐβόα· Τὰ μύρα τοῖς θνητοῖς ὑπάρχει ἁρμόδια· Χριστὸς δὲ διαφθορᾶς ἐδείχθη ἀλλότριος· ἀλλὰ κραυγάσατε· Ἀνέστη ὁ Κύριος, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Καὶ νῦν. ΘΕΟΤΟΚΙΟΝ.

Πάντα ὑπὲρ ἔννοιαν, πάντα ὑπερένδοξα, τὰ σὰ Θεοτόκε μυστήρια· τῇ ἁγνείᾳ ἐσφραγισμένη, καὶ παρθενίᾳ φυλαττομένη, Μήτηρ ἐγνώσθης ἀψευδής, Θεὸν τεκοῦσα ἀληθινόν· αὐτὸν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ΚΑΘΙΣΜΑ Β'.

Ἦχος β'.

Τὸν λίθον τοῦ μνήματος, σφραγισθῆναι μὴ κωλύσας, τὴν πέτραν τῆς πίστεως, ἀναστὰς παρέσχες πᾶσι. Κύριε δόξα σοι.

Priest: Help us, save us, have mercy on us, and protect us, O God, by Thy grace.

Choir: Lord, have mercy.

Priest: Commemorating our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

Choir: To Thee, O Lord.

Priest: For Thine is the dominion, and Thine is the kingdom and the power and the glory, of the Father and the Son and the Holy Spirit, now and ever and to the ages of ages.

Choir: Amen.

KATHISMA I.

Mode 2.

The noble Joseph, taking Thine immaculate Body down from the Tree, and having wrapped It in pure linen and spices, laid It for burial in a new tomb. But on the third day Thou didst arise, O Lord, granting great mercy to the world.

Glory.

Unto the myrrh bearing women did the Angel cry out as he stood by the grave: Myrrh oils are meet for the dead, but Christ hath proved to be a stranger to corruption. But cry out: The Lord is risen, granting great mercy to the world.

Both now. THEOTOKION.

ALL thy mysteries are beyond comprehension; all are exceedingly glorious, O, Theotokos. Sealed with purity and preserved in virginity, thou wast known to be a true mother, giving birth unto the true God. Do thou entreat Him that our souls be saved.

KATHISMA II.

Mode 2.

Not having hindered the stone of the tomb from being sealed, Thou, on Thine arising, hast granted the rock of faith unto all. O Lord, glory be to Thee.

Δόξα.

Τῶν μαθητῶν σου ὁ χορός, σὺν Μυροφόροις γυναιξίν, ἀγάλλεται συμφώνως· κοινὴν γὰρ ἑορτήν, σὺν αὐτοῖς ἑορτάζομεν, εἰς δόξαν καὶ τιμὴν τῆς σῆς ἀναστάσεως· καὶ δι' αὐτῶν φιλάνθρωπε Κύριε, τῷ λαῷ σου παράσχου τὸ μέγα ἔλεος.

Καὶ νῦν. ΘΕΟΤΟΚΙΟΝ.

Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε Παρθένε· διὰ γὰρ τοῦ ἐκ σοῦ σαρκωθέντος, ὁ ᾅδης ἠχμαλώτισται, ὁ Ἀδὰμ ἀνακέκληται, ἡ κατάρα νενέκρωται, ἡ Εὔα ἠλευθέρωται, ὁ θάνατος τεθανάτωται, καὶ ἡμεῖς ἐζωοποιήθημεν· διὸ ἀνυμνοῦντες βοῶμεν· Εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας δόξα σοι.

ΕΥΛΟΓΗΤΑΡΙΑ ΑΝΑΣΤΑΣΙΜΑ. *Ἦχος πλ. α'.*

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν Ἀγγέλων ὁ δῆμος, κατεπλάγη ὁρῶν σε, ἐν νεκροῖς λογισθέντα, τοῦ θανάτου δὲ Σωτήρ, τὴν ἰσχὺν καθελόντα, καὶ σὺν ἑαυτῷ τὸν Ἀδὰμ ἐγείραντα, καὶ ἐξ Ἅδου πάντας ἐλευθερώσαντα.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Τί τὰ μύρα, συμπαθῶς τοῖς δάκρυσιν, ὦ Μαθήτριαι κιρνᾶτε; ὁ ἀστράπτων ἐν τῷ τάφῳ Ἄγγελος, προσεφθέγγετο ταῖς Μυροφόροις· Ἴδετε ὑμεῖς τὸν τάφον καὶ ᾄσθητε· ὁ Σωτὴρ γὰρ ἐξανέστη τοῦ μνήματος.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Λίαν πρωΐ, Μυροφόροι ἔδραμον, πρὸς τὸ μνῆμά σου θρηνολογοῦσαι· ἀλλ' ἐπέστη, πρὸς αὐτὰς ὁ Ἄγγελος, καὶ εἶπε· θρήνου ὁ καιρὸς πέπαυται, μὴ κλαίετε, τὴν Ἀνάστασιν δέ, Ἀποστόλοις εἴπατε.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Μυροφόροι γυναῖκες, μετὰ μύρων ἐλθοῦσαι, πρὸς τὸ μνῆμά σου, Σῶτερ ἐνηχοῦντο. Ἀγγέλου τρανῶς, πρὸς αὐτὰς φθεγγομένου· Τί μετὰ νεκρῶν, τὸν ζῶντα λογίζεσθε; ὡς Θεὸς γάρ, ἐξανέστη τοῦ μνήματος.

Δόξα.

Προσκυνοῦμεν Πατέρα, καὶ τὸν τούτου Υἱόν τε, καὶ τὸ Ἅγιον Πνεῦμα, τὴν Ἁγίαν Τριάδα, ἐν μιᾷ τῇ οὐσίᾳ, σὺν τοῖς Σεραφείμ, κράζοντες τό· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ, Κύριε.

Glory.

The choir of Thy disciples, together with the myrrh bearing women, rejoice with one accord; for we celebrate a common feast with them, unto the glory and honour of Thy Resurrection; and, through them, O man befriending Lord, grant great mercy unto Thy people.

Both now. THEOTOKION.

Most blessed art thou, O Virgin Theotokos; for through Him Who was incarnate of thee, Hades was taken captive, Adam was recalled, the curse was annulled, Eve was freed, death was put to death, and we were brought to life. Wherefore, with hymns we cry aloud: Blessed art Thou, O Christ our God, Who hast been thus well pleased; glory be to Thee.

RESURRECTIONAL EVLOGETARIA. *Both Now Same Mode*

Blessed art Thou, O Lord, teach me Thy commandments.

The assembly of the angels was amazed to see Thee accounted among the dead, Thou Who hadst destroyed the might of death, O Saviour, and didst raise up Adam with Thyself, and Who hadst freed all men from hades.

Blessed art Thou, O Lord, teach me Thy commandments.

Why do ye mingle myrrh with tears of compassion, O ye women disciples? The radiant angel in the grave addressed the myrrh-bearing women: Behold the grave and exult, for the Saviour hath arisen from the sepulchre.

Blessed art Thou, O Lord, teach me Thy commandments.

At early morn, the myrrh-bearers hastened to Thy sepulchre with lamentation; but an Angel came to them and said: The time for sorrow is ended; weep ye no longer. And tell the Apostles of the Resurrection.

Blessed art Thou, O Lord, teach me Thy commandments.

The myrrh-bearing women came with myrrh unto Thy tomb, O Saviour, and they heard an angel saying unto them: Why do ye count the Living among the dead? For, as God, He is risen from the sepulcher.

Glory.

We worship the Father, and His Son, and the Holy Spirit, the Holy Trinity, one in essence; and we cry out with the Seraphim: Holy, Holy, Holy art Thou, O Lord.

Καὶ νῦν.

Ζωοδότην τεκοῦσα, ἐλυτρώσω Παρθένε, τὸν Ἀδὰμ ἁμαρτίας, χαρμονὴν δὲ τῇ Εὔᾳ, ἀντὶ λύπης παρέσχες, ῥεύσαντα ζωῆς, ἴθυνε πρὸς ταύτην δέ, ὁ ἐκ σοῦ σαρκωθείς Θεὸς καὶ ἄνθρωπος.

Ἀλληλούϊα. Ἀλληλούϊα. Ἀλληλούϊα. Δόξα σοι, ὁ Θεός. (3)

Ἱερεύς: Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Χορός: Κύριε, ἐλέησον.

Ἱερεύς: Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Χορός: Κύριε, ἐλέησον.

Ἱερεύς: Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Χορός: Σοί, Κύριε.

Ἱερεύς: Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα καὶ δεδόξασταί σου ἡ βασιλεία, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Χορός: Ἀμήν.

Ἀναγνώστης:

ΥΠΑΚΟΗ.

Ἦχος β'.

Μετὰ τὸ πάθος πορευθεῖσαι ἐν τῷ μνήματι, πρὸς τὸ μυρίσαι τὸ σῶμα σου αἱ γυναῖκες, Χριστὲ ὁ Θεός, εἶδον Ἀγγέλους ἐν τῷ τάφῳ καὶ ἐξέστησαν· φωνῆς γὰρ ἤκουον ἐξ αὐτῶν, ὅτι ἀνέστη ὁ Κύριος, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Χορός:

ΟΙ ΑΝΑΒΑΘΜΟΙ.

Ἀντίφωνον Α'. Ἦχος β'.

Ἐν τῷ οὐρανῷ τὰ ὄμματα, ἐκπέμπω μου τῆς καρδίας, πρὸς σὲ Σωτήρ· σῶσόν με σῇ ἐπιλάμψει.

Both now.

By giving birth to the Giver of Life, O Virgin, thou didst rescue Adam from sin, and thou didst grant Eve joy instead of sorry; for the God and Man Who was incarnate of thee guided back to life him that had fallen away therefrom.

Alleluia. Alleluia. Alleluia. Glory to Thee, O God. (3)

Priest: Again and again in peace let us pray to the Lord.

Choir: Lord, have mercy.

Priest: Help us, save us, have mercy on us, and protect us, O God, by Thy grace.

Choir: Lord, have mercy.

Priest: Commemorating our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

Choir: To Thee, O Lord.

Priest: For blessed is Thy name, and glorified is Thy kingdom, of the Father and the Son and the Holy Spirit, now and ever and to the ages of ages.

Choir: Amen.

Reader:

HYPAKOE.

Mode 2.

The women went to the tomb after Thy passion to anoint Thy body, O Christ God, where they saw a vision of angels, and were astonished; for they heard them crying with a loud voice, The Lord is risen and hath granted the world Great Mercy.

Choir:

ANAVATHMOI.

Antiphon 1. Mode 2.

Unto Heaven do I lift up the eyes of my heart, unto Thee, O Saviour; save me by Thine illumination.

Ἐλέησον ἡμᾶς τοὺς πταίοντάς σοι πολλά, καθ' ἑκάστην ὥραν, ὦ Χριστέ μου, καὶ δὸς πρὸ τέλους τρόπους, τοῦ μετανοεῖν σοι.

Δόξα· καὶ νῦν.

Ἁγίῳ Πνεύματι, τὸ βασιλεύειν πέλει, τὸ ἁγιάζειν, τὸ κινεῖν τὴν κτίσιν· Θεὸς γάρ ἐστιν, ὁμοούσιος Πατρὶ καὶ Λόγῳ.

Ἀντίφωνον Β'.

Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, τίς ἱκανὸς σῶος φυλαχθῆναι, ἐκ τοῦ ἐχθροῦ ἅμα καὶ ἀνθρωποκτόνου;

Τοῖς ὀδοῦσιν αὐτῶν, μὴ παραδῷς Σῶτερ τὸν σὸν δοῦλον· λέοντος τρόπον κατ' ἐμοῦ κινοῦνται, καὶ γὰρ οἱ ἐχθροί μου.

Δόξα· καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ζωαρχία καὶ γέρας· πάντα γὰρ τὰ κτιστά, ὡς Θεὸς ὢν δυναμοῖ, συντηρεῖ ἐν Πατρὶ δι' Υἱοῦ δέ.

Ἀντίφωνον Γ'.

Οἱ πεποιθότες ἐπὶ Κύριον, ἐοίκασιν ὄρει τῷ ἁγίῳ· οἳ οὐδαμῶς σαλεύονται, προσβολαῖς τοῦ βελίαρ.

Ἐν ἀνομίαις χεῖρας αὐτῶν, μὴ ἐκτεινάτωσαν οἱ θείως ζῶντες· οὐ γὰρ ἐᾷ Χριστός, τῇ ῥάβδῳ τὸν κλῆρον αὐτοῦ.

Δόξα· καὶ νῦν.

Ἁγίῳ Πνεύματι, προσπηγάζει πᾶσα σοφία, ἔνθεν χάρις Ἀποστόλοις, καὶ τοῖς ἄθλοις καταστέφονται Μάρτυρες, καὶ Προφῆται ὁρῶσι.

ΠΡΟΚΕΙΜΕΝΟΝ.

Ἔξεγέρθητι, Κύριε ὁ Θεός μου, ἐν προστάγματι, ᾧ ἐνετείλω, καὶ συναγωγὴ λαῶν κυκλώσει σε. (δίς)

Στίχ. *Κύριε ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα.*

Ἔξεγέρθητι, Κύριε ὁ Θεός μου, ἐν προστάγματι, ᾧ ἐνετείλω, καὶ συναγωγὴ λαῶν κυκλώσει σε.

Have mercy on us, who are at fault before Thee greatly every hour, O my Christ; and before the end, grant means that we may repent before Thee.

Glory. Both now.

To the Holy Spirit belongeth the governing, the sanctification, and the moving of creation; for He is God, one in essence with the Father and the Word.

Antiphon 2.

Had it not been that the Lord was with us, who could have preserved himself unharmed from him that is both the enemy and manslayer?

Surrender not Thy servant unto their teeth, O Saviour; for like unto a lion, so also do mine enemies move against me.

Glory. Both now.

In the Holy Spirit is there both honour and the principle of life; for as God, He doth strengthen adn sustain all created things in the Father through the Son

Antiphon 3.

They that trust in the Lord are like unto the holy mountain; they are in no wise shaken by the attacks of Belial.

Let them that live in a godly manner not stretch forth their hands unto iniquities; for by means of the rod, Christ restraineth His lot.

Glory. Both now.

By the Holy Spirit, doth all wisdom pour forth; thence is there grace to the Apostles, and thereby in contest are the Martyrs crowned and the Prophets see.

PROKEIMENON.

Arouse Thyself, O Lord my God, in the commandment which Thou hast enjoined, and a congregation of peoples shall surround Thee. (2)

Verse: *O Lord my God, in Thee have I put my hope; save me from them that persecute me, and do Thou deliver me.*

Arouse Thyself, O Lord my God, in the commandment which Thou hast enjoined, and a congregation of peoples shall surround Thee.

Ode 6: Short Litany

Ἱερεύς: Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Χορός: Κύριε, ἐλέησον.

Ἱερεύς: Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Χορός: Κύριε, ἐλέησον.

Ἱερεύς: Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Χορός: Σοί, Κύριε.

Ἱερεύς: Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης καὶ σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Χορός: Ἀμήν.

Ἀναγνώστης:

KONTAKION ANASTASIMON.

Ἀνέστης Σωτήρ, ἐκ τάφου παντοδύναμε, καὶ ᾅδης ἰδών, τὸ θαῦμα ἐξεπλήττετο, καὶ νεκροὶ ἀνίσταντο, καὶ ἡ κτίσις ἰδοῦσα συγχαίρει σοι, καὶ ὁ Ἀδάμ συναγάλλεται, καὶ κόσμος Σωτήρ μου ἀνυμνεῖ σε ἀεί.

O OIKOΣ.

Σὺ εἶ τὸ φῶς τῶν ἐσκοτισμένων, σὺ εἶ ἡ ἀνάστασις πάντων, καὶ ἡ ζωὴ τῶν βροτῶν, καὶ πάντας συνανέστησας, τοῦ θανάτου τὸ κράτος Σωτὴρ σκυλεύσας, καὶ τοῦ ᾅδου τὰς πύλας συντρίψας Λόγε, καὶ οἱ θνητοὶ κατιδόντες τὸ θαῦμα ἐθαύμαζον, καὶ πᾶσα κτίσις συγχαίρει ἐν τῇ σῇ ἀναστάσει, Φιλάνθρωπε. Διὸ καὶ πάντες δοξάζομεν, καὶ ὑμνοῦμεν τὴν σὴν συγκατάβασιν, καὶ κόσμος Σωτήρ μου ἀνυμνεῖ σε ἀεί.

Ode 6: Short Litany

Priest: Again and again in peace let us pray to the Lord.

Choir: Lord, have mercy.

Priest: Help us, save us, have mercy on us, and protect us, O God, by Thy grace.

Choir: Lord, have mercy.

Priest: Commemorating our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

Choir: To Thee, O Lord.

Priest: For Thou art the King of peace and the savior of our souls, and to Thee we offer up glory, to the Father and the Son and the Holy Spirit, now and ever and to the ages of ages.

Choir: Amen.

Reader:

RESURRECTIONAL KONTAKION.

Thou didst rise from the tomb, O Savior all powerful, and Hades beheld the marvel and was struck with fear, and the dead rose up, and creation beholds and rejoices with Thee, and Adam also exults; O my Savior, and the world ever sings Thy praise.

OIKOS.

Thou art the light of those in darkness, Thou art the resurrection of all and the life of mortals, and with Thyself Thou hast resurrected all, O Savior, despoiling the dominion of death, and smashing the gates of Hades, O Word. Mortals, beholding the miracle, marvelled, and all creation rejoices in Thy Resurrection, O Lover of mankind. Therefore we all glorify and extol Thy condescension; O my Savior, and the world ever sings Thy praise.

ΚΟΝΤΑΚΙΟΝ ΤΩΝ ΠΑΤΕΡΩΝ.

Ὁ ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς ἀῤῥήτως, ἐκ γυναικὸς ἐτέχθη διπλοῦς τῇ φύσει· ὃν εἰδότες, οὐκ ἀρνούμεθα τῆς μορφῆς τὸ ἐκτύπωμα· αὐτὸ δὲ εὐσεβῶς ἀνιστοροῦντες, σέβομεν πιστῶς· καὶ διὰ τοῦτο τὴν ἀληθινὴν πίστιν κρατοῦσα ἡ Ἐκκλησία, ἀσπάζεται τὴν εἰκόνα τῆς Χριστοῦ ἐνανθρωπήσεως.

Ο ΟΙΚΟΣ.

Θέλων ὁ πανοικτίρμων Θεὸς ἡμᾶς διεγείρειν ἀεί, πρὸς μνήμην τελείαν τῆς αὐτοῦ ἐνανθρωπήσεως, τὴν ὑπόθεσιν ταύτην παρέδωκε τοῖς ἀνθρώποις, διὰ τῆς χρωματουργίας τῶν εἰκόνων, τὴν σεβάσμιον ἀνατυποῦσθαι μορφήν· ὅπως ταύτην ἐπ' ὄψεσιν ὁρῶντες, πιστεύωμεν, ἅπερ λόγῳ ἀκηκόαμεν, γνωρίζοντες σαφῶς τὴν πρᾶξιν καὶ τὸ ὄνομα, τὸ σχῆμα καὶ τοὺς ἄθλους τῶν Ἁγίων ἀνδρῶν· καὶ Χριστὸν τὸν στεφοδότην στεφάνους παρεχόμενον τοῖς Ἁγίοις ἀθληταῖς τε καὶ μάρτυσι, δι' ὧν ἄρτι τρανότερον τὴν ἀληθινὴν πίστιν κρατοῦσα ἡ Ἐκκλησία, ἀσπάζεται τὴν εἰκόνα τῆς Χριστοῦ ἐνανθρωπήσεως.

Ὁ λαὸς ἵσταται διὰ τὴν ἀνάγνωσιν τοῦ Συναξαρίου.

ΣΥΝΑΞΑΡΙΟΝ

ΤΟΥ ΜΗΝΑΙΟΥ.

Τῇ ΙΑ' τοῦ αὐτοῦ μηνὸς μνήμη τοῦ ἁγίου Ἀποστόλου Φιλίππου, ἑνὸς τῶν ἑπτὰ Διακόνων.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου Πατρὸς ἡμῶν καὶ Ὁμολογητοῦ Θεοφάνους, ἀδελφοῦ τοῦ ἁγίου Θεοδώρου τοῦ Γραπτοῦ.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων Μαρτύρων Ζηναΐδος καὶ Φιλονίλλας τῶν αὐταδέλφων.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων Πατριαρχῶν Κωνσταντινουπόλεως Νεκταρίου, Ἀρσακίου καὶ Σισινίου.

KONTAKION FOR THE FATHERS.

THE Son Who shone forth from the Father ineffably was born, twofold of nature, of a woman. Beholding Him, we deny not the image of His form; but depicting it piously, we revere it faithfully. And for this cause, the Church, in that it holdeth the true Faith, doth venerate the icon of Christ's incarnation.

OIKOS.

THE All-compassionate God, ever wishing to arouse us to perfect recollection of His becoming man, hath delivered this precept unto men, namely, that His venerable form should be depicted through the painting of icons; so that beholding it with our eyes, we might believe what we have heard by word, and might clearly know the accomplishments and names, the appearances and the contests of saintly men, and might also know Christ, the Crown-bestower, Who granteth crowns unto the holy athletes and martyrs, through whom now the Church yet more manifestly holdeth fast the true Faith and doth venerate the icon of Christ's incarnation.

Stand for the reading of the Synaxarion.

SYNAXARION

FROM THE MENAION.

On October 11, we commemorate the holy Apostle Philip, one of the seven Deacons.

On this day we commemorate our devout father Theophanes the Confessor, brother of Saint Theodore the Branded.

On this day we commemorate the holy Martyrs Zenaida and Philonilla the sisters.

On this day we commemorate the holy Patriarchs of Constantinople Nektarios, Arsakios and Sisinios.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμην ἐπιτελοῦμεν τῶν ἁγίων καὶ μακαρίων Πατέρων, τῶν ἐν Νικαίᾳ συνελθόντων τὸ δεύτερον, ἐπὶ τῶν εὐσεβῶν καὶ φιλοχρίστων βασιλέων Κωνσταντίνου καὶ Εἰρήνης, κατὰ τῶν δυσσεβῶς καὶ ἀμαθῶς καὶ ἀπερισκέπτως τὴν Ἐκκλησίαν τοῦ Θεοῦ εἰδωλολατρεῖν εἰπόντων καὶ τὰς σεπτὰς καὶ ἁγίας εἰκόνας καταβαλόντων.

Ταῖς τῶν ἁγίων Πατέρων πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

KATAVASIAS ODES 1-8

Χορός:

Ὠδὴ α'. Καταβασία. Ἦχος δ'.

Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ Βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.

Ὠδὴ γ'. Καταβασία. Ἦχος δ'.

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας πνευματικόν, στερέωσον· καὶ ἐν τῇ θείᾳ δόξῃ σου, στεφάνων δόξης ἀξίωσον.

Ὠδὴ δ'. Καταβασία. Ἦχος δ'.

Τὴν ἀνεξιχνίαστον θείαν βουλήν, τῆς ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ Ὑψίστου, ὁ Προφήτης, Ἀββακούμ, κατανοῶν ἐκραύγαζε· Δόξα τῇ δυνάμει σου Κύριε.

Ὠδὴ ε'. Καταβασία. Ἦχος δ'.

Ἔξεστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου· σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ, τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύοντα.

Ὠδὴ Ϛ'. Καταβασία. Ἦχος δ'.

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάζοντες.

On this day we also observe the memory of the holy and blessed Fathers who convened in Nicea for a second time, under the Orthodox and Christ-loving emperors Constantine and Irene, against those who in an impious, uneducated, and thoughtless manner said that the Church of God practiced idolatry and who had taken down the august and holy icons.

By the intercessions of the holy Fathers, O God, have mercy on us. Amen.

KATAVASIAS ODES 1-8

Choir:

Ode i. Mode 4.

I shall open my mouth and the Spirit shall inspire it, and I shall utter the words of my song to the Queen and Mother; I shall be seen radiantly keeping feast and joyfully praising her wonders.

Ode iii. Mode 4.

Make steadfast, O holy Theotokos, thou living and never failing spring, all them that form a company and gather for to praise thy name; and by thy grace divine, O Maid, deem them all worthy of glory's crown.

Ode iv. Mode 4.

When the Prophet Habbakkuk, O Thou Most High, learned of the divine and untraceable counsel of your pure incarnation from the womb of the blessed Virgin, he cried out: Glory to Thy power, O Lord my God.

Ode v. Mode 4.

All creatures were sore amazed at thy divine and great glory, Maid, O pure Virgin, who hast not known wedlock; for thou didst hold in thy womb the God of all, and gavest birth to the timeless son, Who doth grant salvation unto all them that acclaim thy name.

Ode vi. Mode 4.

On this divine and most honoured feast of God's all holy Mother let all of godly mind now celebrate; come, let us faithful now clap our hands, and send up glory unto the God Whom she hath borne.

Ὠδὴ ζ'. Καταβασία. Ἦχος δ'.

Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν Κτίσαντα, ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον. Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'. Καταβασία. Ἦχος δ'.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἀγείρει ψάλλουσαν. Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὁ λαὸς ἵσταται διὰ τὴν ἀνάγνωσιν τοῦ Εὐαγγελίου.

Τοῦ Κυρίου δεηθῶμεν.

Χορός: Κύριε, ἐλέησον.

Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις ἐπαναπαύῃ, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Χορός: Ἀμήν.

Ἦχος β'.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. (δίς) Αἰνεσάτω πνοὴ πᾶσα τὸν Κύριον.

Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

Χορός: Κύριε, ἐλέησον. *(3)*

Σοφία. Ὀρθοί. Ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Εἰρήνη πᾶσι.

Χορός: Καὶ τῷ πνεύματί σου.

Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Πρόσχωμεν.

Δόξα σοι, Κύριε, δόξα σοι.

Ode vii. Mode 4.

No created thing, but only the Creator would the godly minded Youths adore and worship as God; but manfully trampling down threats of fire, they cried out: O supremely praised and all acclaimed One, blest art Thou, O Thou Lord God of our Fathers.

Ode viii. Mode 4.

We praise and we bless and we worship the Lord.

Three guiltless Youths cast in the furnace were saved by the Offspring which the Theotokos bare, then in figure and in type, now in very truth and deed; and He hath gathered all the world, which crieth out in chant: Ye works of His, O sing the Lord's praises, and exalt Him greatly for ages and all ages. I shall open my mouth

Stand for the Gospel reading.

No Entrance

Choir: Lord, have mercy.

For Thou, our God, are holy, and Thou rest among the Saints, and to Thee we offer up glory, to the Father and the Son and the Holy Spirit, now and ever and to the ages of ages.

Choir: Amen.

Mode 2.

Let everything that breathes praise the Lord. (2) Let everything that breathes praise the Lord.

Let us pray to the Lord our God that we may be found worthy to hear the holy Gospel.

Choir: Lord, have mercy. (3)

Wisdom. Arise. Let us hear the holy Gospel.

Peace be with all.

Choir: And with your spirit.

The reading is from the holy Gospel according to John.

Let us be attentive.

Glory to Thee, O Lord, glory to You.

ΕΩΘΙΝΟΝ Η'

Ἰωάννην 20:11 – 18

Τῷ καιρῷ ἐκείνῳ, Μαρία εἱστήκει πρὸς τῷ μνημείῳ κλαίουσα ἔξω. ὡς οὖν ἔκλαιε, παρέκυψεν εἰς τὸ μνημεῖον καὶ θεωρεῖ δύο ἀγγέλους ἐν λευκοῖς καθεζομένους, ἕνα πρὸς τῇ κεφαλῇ καὶ ἕνα πρὸς τοῖς ποσίν, ὅπου ἔκειτο τὸ σῶμα τοῦ Ἰησοῦ. καὶ λέγουσιν αὐτῇ ἐκεῖνοι· γύναι, τί κλαίεις; λέγει αὐτοῖς· ὅτι ἦραν τὸν Κύριόν μου, καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν. καὶ ταῦτα εἰποῦσα ἐστράφη εἰς τὰ ὀπίσω, καὶ θεωρεῖ τὸν Ἰησοῦν ἑστῶτα, καὶ οὐκ ᾔδει ὅτι Ἰησοῦς ἐστι. λέγει αὐτῇ ὁ Ἰησοῦς· γύναι, τί κλαίεις; τίνα ζητεῖς; ἐκείνη δοκοῦσα ὅτι ὁ κηπουρός ἐστι, λέγει αὐτῷ· κύριε, εἰ σὺ ἐβάστασας αὐτόν, εἰπέ μοι ποῦ ἔθηκας αὐτόν, κἀγὼ αὐτὸν ἀρῶ. λέγει αὐτῇ ὁ Ἰησοῦς· Μαρία. στραφεῖσα ἐκείνη λέγει αὐτῷ· ῥαββουνί, ὃ λέγεται, διδάσκαλε. λέγει αὐτῇ ὁ Ἰησοῦς· μή μου ἅπτου· οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν πατέρα μου· πορεύου δὲ πρὸς τοὺς ἀδελφούς μου καὶ εἰπὲ αὐτοῖς· ἀναβαίνω πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν. ἔρχεται Μαρία ἡ Μαγδαληνὴ ἀπαγγέλλουσα τοῖς μαθηταῖς ὅτι ἑώρακε τὸν Κύριον, καὶ ταῦτα εἶπεν αὐτῇ.

Χορός: Δόξα σοι, Κύριε, δόξα σοι.

Ἀναγνώστης: Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν Ἅγιον Κύριον Ἰησοῦν, τὸν μόνον ἀναμάρτητον. Τὸν Σταυρόν σου, Χριστέ, προσκυνοῦμεν καὶ τὴν ἁγίαν σου ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ πιστοί, προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν ἀνάστασιν· ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ. Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν ἀνάστασιν αὐτοῦ· Σταυρὸν γὰρ ὑπομείνας δι' ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν.

Χορός:

ΨΑΛΜΟΣ Ν' (50). *Ἦχος β'. (ἢ τῆς ἑβδομάδος.)*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

EOTHINON 8

John. 20:11 – 18

At that time, Mary stood weeping outside the tomb, and as she wept she stooped to look into the tomb, and she saw two angels in white, sitting where the body of Jesus has lain, one at the head and one at the feet. They said to her, "Woman, why are you weeping?" She said to them, "Because they have taken away my Lord, and I do not know where they have laid him." Saying this, she turned round and saw Jesus standing, but she did not know that it was Jesus. Jesus said to her, "Woman, why are you weeping? Whom do you seek?" Supposing him to be the gardener, she said to him, "Sir, if you have carried him away, tell me where you have laid him, and I will take him away." Jesus said to her, "Mary." She turned and said to him in Hebrew, "Rabboni," which means Teacher. Jesus said to her, "Do not touch me, for I have not yet ascended to the Father; but go to my brethren and say to them, I am ascending to my Father and your Father, to my God and your God." Mary Magdalene went and said to the disciples, "I have seen the Lord," and she told them that he had said these things to her.

Choir: Glory to Thee, O Lord, glory to You.

Reader: Having beheld the Resurrection of Christ, let us worship the holy Lord Jesus, the only sinless one. Thy Cross, O Christ, we venerate, and Thy holy Resurrection we praise and glorify. For Thou art our God; apart from Thee we know no other; we call upon Thy name. Come, all ye faithful, let us venerate the holy Resurrection of Christ; for behold, through the Cross, joy hath come to all the world. Ever blessing the Lord, let us praise His Resurrection; for having endured the Cross for us, He hath destroyed death by death.

Choir:

PSALM 50 (51). *Mode 2. (or the Mode of the week)*

Have mercy upon me, O God, according to thy lovingkindness: according unto the multitude of thy tender mercies blot out my transgression.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα· ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Wash me throughly from mine iniquity, and cleanse me from my sin.

For I acknowledge my transgressions: and my sin is ever before me.

Against thee, thee only, have I sinned, and done this evil in thy sight: that thou mightest be justified when thou speakest, and prevail when thou art judged.

Behold, I was shapen in iniquity; and in sin did my mother conceive me.

Behold, thou desirest truth in the inward parts: and in the hidden part thou shalt make me to know wisdom.

Purge me with hyssop, and I shall be clean: wash me, and I shall be whiter than snow.

Make me to hear joy and gladness; that the bones which thou hast humbled may rejoice.

Hide thy face from my sins, and blot out all mine iniquities.

Create in me a clean heart, O God; and renew a right spirit within me.

Cast me not away from thy presence; and take not thy holy spirit from me.

Restore unto me the joy of thy salvation; and uphold me with thy governing spirit.

Then will I teach transgressors thy ways; and sinners shall be converted unto thee.

Deliver me from bloodguiltiness, O God, thou God of my salvation: and my tongue shall sing aloud of thy righteousness.

O Lord, open thou my lips; and my mouth shall shew forth thy praise.

For thou desirest not sacrifice; else would I give it: thou delightest not in burnt offering.

The sacrifices of God are a broken spirit: a broken and a contrite heart, O God, thou wilt not despise.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους. Καὶ ἐλέησόν με, ὁ Θεός.

Δόξα.

Ταῖς τῶν Ἀποστόλων πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. *Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.*

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου, καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωήν, καὶ μέγα ἔλεος.

Ἱερεύς: Σῶσον ὁ Θεὸς τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου· ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας χριστιανῶν ὀρθοδόξων καὶ κατάπεμψον ἐφ' ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια·

πρεσβείαις τῆς παναχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἐν ἁγίοις πατέρων ἡμῶν μεγάλων ἱεραρχῶν καὶ οἰκουμενικῶν διδασκάλων Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος πατριαρχῶν Ἀλεξανδρείας· Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, καὶ Νεκταρίου Πενταπόλεως τῶν θαυματουργῶν· τῶν ἁγίων ἐνδόξων μεγαλομαρτύρων Γεωργίου τοῦ τροπαιοφόρου, Δημητρίου τοῦ μυροβλήτου, Θεοδώρου τοῦ τήρωνος, Θεοδώρου τοῦ στρατηλάτου, Μηνᾶ τοῦ θαυματουργοῦ·

Do good in thy good pleasure unto Zion: build thou the walls of Jerusalem.

Then shalt thou be pleased with the sacrifices of righteousness, with burnt offering and whole burnt offering

Then shall they offer bullocks upon thine altar. And have mercy on me O God.

Glory.

At the intercession of the Apostles, O Lord of mercy, blot out my many offences.

Both now.

At the intercession of the Theotokos, O Lord of mercy, blot out my many offenses.

Verse: *Have mercy on me, O God, according to Thy great mercy; and according to the abundance of Thy compassion, blot out my transgression.*

Jesus, having risen from the grave as He foretold, has granted us eternal life and great mercy.

Priest: O God, save Your people and bless Your inheritance. Look upon Your world with mercy and compassion. Exalt the horn of Orthodox Christians, and send down upon us Your rich mercies:

through the intercessions of our all-immaculate Lady Theotokos and ever-virgin Mary, by the power of the precious and life-giving Cross, the protection of the honorable, heavenly, bodiless powers, the supplications of the honorable, glorious prophet and forerunner John the Baptist, the holy, glorious, and praiseworthy apostles, our fathers among the saints, the great hierarchs and ecumenical teachers Basil the Great, Gregory the Theologian, and John Chrysostom; Athanasius, Cyril, and John the Merciful, patriarchs of Alexandria, Nicholas, bishop of Myra, Spyridon, bishop of Trimythous, Nektarios of Pentapolis, the wonderworkers; the holy, glorious, great martyrs George the triumphant, Demetrios the myrrh-streamer, Theodore the soldier, and Theodore the general; Menas the wonderworker;

τῶν ἱερομαρτύρων Χαραλάμπους καὶ Ἐλευθερίου, τῆς ἁγίας ἐνδόξου μεγαλομάρτυρος καὶ πανευφήμου Εὐφημίας·

τῶν ἁγίων ἐνδόξων μαρτύρων Θέκλας, Βαρβάρας, Ἀναστασίας, Αἰκατερίνης, Κυριακῆς, Φωτεινῆς, Μαρίνης, Παρασκευῆς καὶ Εἰρήνης· τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν· (τοῦ ἁγίου τοῦ ναοῦ)· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, τῶν ἁγίων Πατέρων τῆς Ζ' Οἰκουμενικῆς Συνόδου, ὧν καὶ τὴν μνήμην ἐπιτελοῦμεν· καὶ πάντων σου τῶν ἁγίων·

Charalampus and Eleutherius, the hieromartyrs;

the holy, glorious, and victorious martyrs; the glorious great Martyr and all-laudable Euphemia; the holy and glorious Martyrs Thecla, Barbara, Anastasia, Catherine, Kyriaki, Photini, Marina, Paraskevi and Irene; our venerable and God-bearing fathers; (local patron saint); the holy and righteous ancestors of God Joachim and Anna; of the holy Fathers of the Seventh Ecumenical Council, whose memory we celebrate today; and all Your saints:

ἱκετεύομέν σε, μόνε πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καὶ ἐλέησον ἡμᾶς.

We beseech Thee, only merciful Lord, hear us sinners who pray to Thee and have mercy on us.

Χορός: Κύριε, ἐλέησον. *(ιβ')*

Choir: Lord, have mercy. (12)

Ἱερεύς: Ἐλέει καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Priest: Through the mercy, compassion, and love for mankind of Thine only-begotten Son, with whom Thou art blessed, and Thine all-holy, good and life-creating Spirit, now and ever and to the ages of ages.

Χορός: Ἀμήν.

Choir: Amen.

Ὁ λαὸς ἵσταται διὰ τὴν Θ' Ὠδήν.

Stand for the singing of Ode ix.

Διάκονος: Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς ἐν ὕμνοις τιμῶντες μεγαλύνωμεν.

Deacon: Let us honor and magnify in song the Theotokos and the Mother of the light.

Χορός:

Choir:

Ἱερεύς:

Priest:

Ὠδὴ θ'.

Ode ix.

ΜΕΓΑΛΥΝΑΡΙΟΝ.

THE MAGNIFICAT.

Ἦχος δ'.

Mode 4.

Στίχ. *Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.*

Verse: *My soul magnifies the Lord, and my spirit has rejoiced in God my Savior.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify.

Στίχ. *Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδού γάρ, ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. *Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καί το ἔλεος αὐτοῦ εἰς γενεάν, καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. *Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. *Καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. *Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς Πατέρας ἡμῶν, τῷ Ἀβραάμ, καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Ὠδὴ θ'. Καταβασία. Ἦχος δ'.

Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι λαμπαδουχούμενος, πανηγυριζέτω δέ, ἀΰλων Νόων φύσις γεραίρουσα, τὰ ἱερὰ θαυμάσια τῆς Θεομήτορος, καὶ βοάτω· Χαίροις παμμακάριστε, Θεοτόκε Ἁγνὴ ἀειπάρθενε.

Ἱερεύς: Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Χορός: Κύριε, ἐλέησον.

Verse: *For He has regarded the lowly state of His maidservant; for behold, henceforth all generations will call me blessed.*

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify.

Verse: *For He who is mighty has done great things for me, and holy is His name. And His mercy is on those who fear Him from generation to generation.*

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify.

Verse: *He has shown strength with His arm; He has scattered the proud in the imagination of their hearts.*

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify.

Verse: *He has put down the mighty from their thrones, and exalted the lowly. He has filled the hungry with good things, and the rich He has sent away empty.*

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify.

Verse: *He has helped His servant Israel, in remembrance of His mercy, as He spoke to our fathers, to Abraham and to his seed forever.*

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify.

Ode ix. Mode 4.

Let every earthborn man upleap in the spirit, and now hold his torch on high; and let all the bodiless, noetic hosts now celebrate joyously the Theotokos's sublime and sacred festival, as they cry out: Rejoice, O thou all blessed one, ever virgin and pure Mother of our God.

Priest: Again and again in peace let us pray to the Lord.

Choir: Lord, have mercy.

Ἱερεύς: Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Χορός: Κύριε, ἐλέησον.

Ἱερεύς: Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Χορός: Σοί, Κύριε.

Ἱερεύς: Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπουσι, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Χορός: Ἀμήν.

Ἱερεύς:

Ἦχος β'.

Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν. (δίς)

Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ.

Ὅτι ἅγιός ἐστι.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ.

ΤΟ Η' ΕΩΘΙΝΟΝ.

Ἦχος β'. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Δύο Ἀγγέλους βλέψασα, ἔνδοθεν τοῦ μνημείου, Μαρία ἐξεπλήττετο, καὶ Χριστὸν ἀγνοοῦσα, ὡς κηπουρὸν ἐπηρώτα· Κύριε ποῦ τὸ σῶμα, τοῦ Ἰησοῦ μου τέθεικας; κλήσει δὲ τοῦτον γνοῦσα, εἶναι αὐτόν, τὸν Σωτῆρα ἤκουσε· Μή μου ἅπτου, πρὸς τὸν Πατέρα ἄπειμι, εἰπὲ τοῖς ἀδελφοῖς μου.

ΤΩΝ ΠΑΤΕΡΩΝ. *Ἦχος γ'. Ἐν πνεύματι τῷ ἱερῷ.*

Πατέρες οὐρανόφρονες, οἱ Συνόδῳ ἑβδόμῃ, συναθροισθέντες δέησιν, ἐκτενῆ τῇ Τριάδι, προσάξατε τοῦ ῥυσθῆναι, ἐκ πάσης αἱρέσεως, καὶ κρίσεως αἰωνίου, Βασιλείας τε τυχεῖν, οὐρανῶν τοὺς τὴν ὑμῶν, σύναξιν θείαν ὑμνοῦντας.

Priest: Help us, save us, have mercy on us, and protect us, O God, by Thy grace.

Choir: Lord, have mercy.

Priest: Commemorating our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

Choir: To Thee, O Lord.

Priest: For all the powers of heaven praise Thee, and to Thee they offer up glory, to the Father and the Son and the Holy Spirit, now and ever and to the ages of ages.

Choir: Amen.

Priest:

Mode 2.

Holy is the Lord our God. (2)

Exalt the Lord our God, and worship at the footstool of His feet.

For He is holy.

EXAPOSTEILARION.

EOTHINON 8.

Mode 2. Let us in faith./Upon that mount in Galilee.

Seeing two angels in the tomb, * Mary was sore astonished; * and then not recognizing Christ, * she asked Him as the gard'ner: * Sir, where hast thou laid the body * of my longed-after Jesus? * But when she heard Him call her name, * then she verily knew Him, * that it was He, * and heard: Touch Me not, spoken by the Savior; * for to My Father I depart; * go thou and tell My brethren.

FOR THE FATHERS. *Mode 3. The Elder in the Temple.*

O Fathers of celestial mind * of the great Seventh Council, * with fervor pray the Trinity * for us singing the praises * of your divine and ven'rable * and all-lauded gathering, * that we may all be delivered * from heretical error * and from judgment eternal, * and find the Kingdom of Heaven.

ΘΕΟΤΟΚΙΟΝ. ΟΜΟΙΟΝ.

Πρεσβείαις ὑπεράγαθε, Κύριε τῆς Μητρός σου, καὶ τῶν ἐν ἑπτὰ Συνόδοις, ἀθροισθέντων Πατέρων, τὴν Ἐκκλησίαν στήριξον, καὶ τὴν Πίστιν κράτυνον. καὶ οὐρανῶν Βασιλείας, δεῖξον πάντας κοινωνούς, ὅταν ἔλθῃς ἐπὶ γῆς, τοῦ κρῖναι πᾶσαν τὴν κτίσιν.

Ψάλτης: Κέλευσον, δέσποτα ἅγιε. Ἦχος β'.

Χορός:

ΟΙ ΑΙΝΟΙ.

Ἦχος β'.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

ΣΤΙΧΗΡΑ ΑΝΑΣΤΑΣΙΜΑ. *Ἦχος β'.*

Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον· δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

Πᾶσα πνοὴ καὶ πᾶσα κτίσις, σὲ δοξάζει Κύριε, ὅτι διὰ τοῦ Σταυροῦ τὸν θάνατον κατήργησας, ἵνα δείξῃς τοῖς λαοῖς, τὴν ἐκ νεκρῶν σου ἀνάστασιν, ὡς μόνος φιλάνθρωπος.

Ἦχος β'.

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Εἰπάτωσαν Ἰουδαῖοι, πῶς οἱ στρατιῶται ἀπώλεσαν, τηροῦντες τὸν Βασιλέα; Διατί γὰρ ὁ λίθος οὐκ ἐφύλαξε τὴν πέτραν τῆς ζωῆς; ἢ τὸν ταφέντα δότωσαν, ἢ ἀναστάντα προσκυνείτωσαν, λέγοντες σὺν ἡμῖν· Δόξα τῷ πλήθει τῶν οἰκτιρμῶν σου, Σωτὴρ ἡμῶν δόξα σοι.

THEOTOKION. SAME MELODY.

O Lord, Thou Who art more than good, * through the prayers of Thy Mother * and of the Fathers who convened * in the seven great Councils, * establish and build up the Church * and make firm the holy Faith; * show us all forth as partakers * of the Kingdom of Heaven * when to earth Thou returnest * to judge the whole of creation.

Chanter: Your blessing, holy Master! Mode 2.

Choir:

LAUDS.

Mode 2.

Let every breath praise the Lord. Praise the Lord from the Heavens, praise Him in the highest. To Thee is due praise, O God.

Praise Him, all ye His angels; praise Him, all ye His hosts. To Thee is due praise, O God.

RESURRECTIONAL STICHERA. *Mode 2.*

To do among them the judgment that is written. This glory shall be to all His saints.

Every breath and all creation glorifieth Thee, O Lord; for by the Cross didst Thou abolish death, that Thou mightest show forth unto the peoples Thy Resurrection from the dead, since Thou alone art the Friend of man.

Mode 2.

Praise ye God in His saints, praise Him in the firmament of His power.

Let the Jews make answer: How did the soldiers lose the King Whom they were guarding? Why was it that the stone did not retain the Rock of life? Let them either give up Him that was buried, or worship Him that is risen, saying with us: Glory to the multitude of Thy compassions; O our Saviour, glory be to Thee.

Ἦχος β'.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Χαίρετε λαοί, καὶ ἀγαλλιᾶσθε. Ἄγγελος ἐκάθισεν εἰς τὸν λίθον τοῦ μνήματος· αὐτὸς ἡμᾶς εὐηγγελίσατο εἰπών· Χριστὸς ἀνέστη ἐκ νεκρῶν, ὁ Σωτὴρ τοῦ κόσμου, καὶ ἐπλήρωσε τὰ σύμπαντα εὐωδίας. Χαίρετε λαοί, καὶ ἀγαλλιᾶσθε.

Ἦχος β'.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Ἄγγελος μὲν τὸ Χαῖρε, πρὸ τῆς σῆς συλλήψεως Κύριε, τῇ Κεχαριτωμένῃ ἐκόμισεν· Ἄγγελος δὲ τὸν λίθον τοῦ ἐνδόξου σου μνήματος, ἐν τῇ σῇ ἀναστάσει ἐκύλισεν. Ὁ μέν, ἀντὶ τῆς λύπης, εὐφροσύνης σύμβολα μηνύων, ὁ δέ, ἀντὶ θανάτου, Δεσπότην ζωοδότην κηρύττων ἡμῖν. Διὸ βοῶμέν σοι· Εὐεργέτα τῶν ἁπάντων Κύριε δόξα σοι.

ΤΩΝ ΠΑΤΕΡΩΝ. *Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.*

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Ὅλην συγκροτήσαντες, τὴν τῆς ψυχῆς ἐπιστήμην, καὶ τῷ θείῳ Πνεύματι, συνδιασκεψάμενοι, τὸ μακάριον, καὶ σεπτὸν Σύμβολον, οἱ σεπτοὶ Πατέρες, θεογράφως διεχάραξαν, ἐν ᾧ σαφέστατα, τῷ Γεγεννηκότι συνάναρχον, τὸν Λόγον ἐκδιδάσκουσι, καὶ παναληθῶς ὁμοούσιον, ταῖς τῶν Ἀποστόλων, ἑπόμενοι προδήλως διδαχαῖς, οἱ εὐκλεεῖς καὶ πανόλβιοι, ὄντως καὶ θεόφρονες.

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Ὅλην συγκροτήσαντες, τὴν τῆς ψυχῆς ἐπιστήμην, καὶ τῷ θείῳ Πνεύματι, συνδιασκεψάμενοι, τὸ μακάριον, καὶ σεπτὸν Σύμβολον, οἱ σεπτοὶ Πατέρες, θεογράφως διεχάραξαν, ἐν ᾧ σαφέστατα, τῷ Γεγεννηκότι συνάναρχον, τὸν Λόγον ἐκδιδάσκουσι, καὶ παναληθῶς ὁμοούσιον, ταῖς τῶν Ἀποστόλων, ἑπόμενοι προδήλως διδαχαῖς, οἱ εὐκλεεῖς καὶ πανόλβιοι, ὄντως καὶ θεόφρονες.

Mode 2.

Praise Him for His mighty acts; praise Him according to His excellent greatness.

Rejoice, O ye peoples, and be glad. An Angel sat upon the stone of the tomb; he himself proclaimed the glad tidings unto us, saying: Christ is risen from the dead, the Saviour of the world, and He hath filled all things with fragrance. Rejoice, O ye peoples, and be glad.

Mode 2.

Praise Him with the sound of the trumpet; praise Him with the psaltery and harp.

Before Thy conception, O Lord, an Angel brought the greeting, Rejoice, to her that is full of grace; and, at Thy Resurrection, an Angel rolled away the stone of Thy glorious tomb. The one, instead of sorrow, announced the tokens of gladness. The other, instead of death, proclaimed the life-giving Master unto us. Wherefore, we cry unto thee: O Benefactor of all, Lord, glory be to Thee.

FOR THE FATHERS. *Mode pl. 2. When the saints deposited.*

Praise Him with the timbrel and dance; praise Him with stringed instruments and organs.

Making careful inquiry, * with the Divine Spirit's guidance, * and joining together all * knowledge of things spiritual, * as the scribes of God, * the august Fathers wrote * the celestial Symbol, * the august Creed of our holy Faith, * wherein they clearly teach * that, with His Begetter, the Word of God* is also co-beginningless * and is consubstantial with Him in truth. * For these godly-minded, * all-glorious, and truly blessed Saints * openly followed with fervent faith * all that the Apostles taught.

Praise Him with resounding cymbals; praise Him with triumphant cymbals; let everything that breathes praise the Lord.

Making careful inquiry, * with the Divine Spirit's guidance, * and joining together all * knowledge of things spiritual, * as the scribes of God, * the august Fathers wrote * the celestial Symbol, * the august Creed of our holy Faith, * wherein they clearly teach * that, with His Begetter, the Word of God* is also co-beginningless * and is consubstantial with Him in truth. * For these godly-minded, * all-glorious, and truly blessed Saints * openly followed with fervent faith * all that the Apostles taught.

Στίχ. *Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας.*

Ὅλην εἰσδεξάμενοι, τὴν νοητὴν λαμπηδόνα, τοῦ Ἁγίου Πνεύματος, τὸ ὑπερφυέστατον χρησμολόγημα, τὸ βραχὺ ῥήματι, καὶ πολὺ συνέσει, θεοπνεύστως ἀπεφθέγξαντο, ὡς Χριστοκήρυκες, εὐαγγελικῶν προϊστάμενοι, δογμάτων οἱ μακάριοι, καὶ τῶν εὐσεβῶν παραδόσεων, ἄνωθεν λαβόντες, τὴν τούτων ἀποκάλυψιν σαφῶς, καὶ φωτισθέντες ἐξέθεντο, ὅρον θεοδίδακτον.

Στίχ. *Συναγάγετε αὐτῷ τοὺς ὁσίους αὐτοῦ, τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσίαις.*

Ὅλην συλλεξάμενοι, ποιμαντικὴν ἐπιστήμην, καὶ θυμὸν κινήσαντες, νῦν τὸν δικαιότατον ἐνδικώτατα, τοὺς βαρεῖς ἤλασαν, καὶ λοιμώδεις λύκους, τῇ σφενδόνῃ τῇ τοῦ Πνεύματος, ἐκσφενδονήσαντες, τοῦ τῆς Ἐκκλησίας πληρώματος, πεσόντας ὡς πρὸς θάνατον, καὶ ὡς ἀνιάτως νοσήσαντας, οἱ θεῖοι Ποιμένες, ὡς δοῦλοι γνησιώτατοι Χριστοῦ, καὶ τοῦ ἐνθέου κηρύγματος, μύσται ἱερώτατοι.

Δόξα. ΤΩΝ ΠΑΤΕΡΩΝ. *Ἦχος πλ. δ'.*

Τῶν ἁγίων Πατέρων ὁ χορός, ἐκ τῶν τῆς οἰκουμένης περάτων συνδραμών, Πατρὸς καὶ Υἱοῦ καὶ Πνεύματος Ἁγίου, μίαν οὐσίαν ἐδογμάτισε καὶ φύσιν· καὶ τὸ μυστήριον τῆς θεολογίας, τρανῶς παρέδωκε τῇ Ἐκκλησίᾳ. Οὓς εὐφημοῦντες ἐν πίστει, μακαρίσωμεν λέγοντες· Ὦ θεία παρεμβολή, θεηγόροι ὁπλῖται, παρατάξεως Κυρίου· ἀστέρες πολύφωτοι, τοῦ νοητοῦ στερεώματος· τῆς μυστικῆς Σιών, οἱ ἀκαθαίρετοι πύργοι· τὰ μυρίπνοα ἄνθη τοῦ Παραδείσου· τὰ πάγχρυσα στόματα τοῦ Λόγου· Νικαίας τὸ καύχημα, οἰκουμένης ἀγλάϊσμα· ἐκτενῶς πρεσβεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Verse: *Blessed are You, O Lord God of our fathers, for You are praiseworthy and exalted beyond measure unto the ages.*

Since Christ's heralds had received * all of the spiritual brightness * of the Holy Spirit's light, * and had been inspired of God, * they proclaimed to all * that divine oracle * filled with wondrous wisdom, * which, though few in words, is great in breadth. * For they who staunchly fought * for the Gospel's doctrines and for divine * traditions clearly had received * holy revelation from God on high; * and being enlightened, * those blessed Fathers set forth for the world * that holy Faith which was taught of God, * making known eternal truth.

Verse: *Gather His holy ones to Him, who establish His covenant upon sacrifices.*

As true servants of Christ God, * the godly shepherds assembled * all their wise experience * as the shepherds of the flock; * and with godly zeal, * stirring up righteous wrath, * they wrought righteous judgment, * driving off diseased and grievous wolves, * when, with the Spirit's sling, * they expelled them all from the Church's ranks, * as fallen even unto death, * stricken with a malady past all cure. * For the holy Fathers * were ven'rable initiates and seers * of the divine preaching from on high, * teaching sacred mysteries

Glory. FOR THE FATHERS. *Mode pl. 4.*

WHEN the choir of the Holy Fathers flocked from the ends of the inhabited world, they proclaimed the doctrine of the One Essence and One Nature of the Father, Son, and Holy Spirit, thereby delivering plainly to the Church the mystery of theology. As we acclaim them in faith, let us call them blessed, saying: O divine array, ye God-proclaiming hoplites of the Lord's company, most brilliant stars of the spiritual firmament, impregnable towers of the mystical Sion, ye fragrant flowers of Paradise, ye all- golden mouths of the Word, the boast of Nicaea and adornment of the whole world: Intercede ye fervently in behalf of our souls.

Καὶ νῦν. ΘΕΟΤΟΚΙΟΝ.

Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε Παρθένε· διὰ γὰρ τοῦ ἐκ σοῦ σαρκωθέντος, ὁ ᾅδης ἠχμαλώτισται, ὁ Ἀδὰμ ἀνακέκληται, ἡ κατάρα νενέκρωται, ἡ Εὔα ἠλευθέρωται, ὁ θάνατος τεθανάτωται, καὶ ἡμεις ἐζωοποιήθημεν· διὸ ἀνυμνοῦντες βοῶμεν· Εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας δόξα σοι.

Both now. THEOTOKION.

Most blessed art thou, O Virgin Theotokos; for through Him Who was incarnate of thee, Hades was taken captive, Adam was recalled, the curse was annulled, Eve was freed, death was put to death, and we were brought to life. Wherefore, with hymns we cry aloud: Blessed art Thou, O Christ our God, Who hast been thus well pleased; glory be to Thee.

Ὁ λαὸς ἵσταται διὰ τὴν Μ. Δοξολογίαν.

Stand for the Great Doxology.

Η ΜΕΓΑΛΗ ΔΟΞΟΛΟΓΙΑ

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ· Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

GREAT DOXOLOGY

Glory be to Thee Who hast shown the light. Glory in the highest to God, and on earth peace, good will among men.

We praise Thee; we bless Thee; we worship Thee; we glorify Thee; we give thanks to Thee for Thy great glory.

O Lord, King, heavenly God, the Father Almighty, O Lord the only begotten Son, Jesus Christ, and the Holy Spirit.

O Lord, God, Lamb of God, Son of the Father, Who takest away the sin of the world: have mercy on us, Thou Who takest away the sins of the world.

Receive our prayer, Thou Who sittest at the right hand of the Father; and have mercy on us.

For Thou alone art holy; Thou alone art Lord, Jesus Christ, to the glory of God the Father. Amen.

Every day will I bless Thee, and I will praise Thy name forever and unto the ages of ages.

Vouchsafe, O Lord, to keep us this day without sin.

Blessed art Thou, O Lord, the God of our Fathers, and praised and glorified is Thy name unto the ages. Amen.

Let Thy mercy, O Lord, be upon us, even as we have hoped in Thee.

Blessed art Thou, O Lord, teach me Thy statutes.

Blessed art Thou, O Lord, teach me Thy statutes.

Blessed art Thou, O Lord, teach me Thy statutes.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον. Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. *(3)*

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Μετὰ τὸ τέλος τῆς Δοξολογίας λέγομεν Τροπάριον Ἀναστάσιμον.

Ἦχος δ'. (ἢ τῆς ἑβδομάδος.)

Σήμερον σωτηρία τῷ κόσμῳ γέγονεν. Ἄσωμεν τῷ ἀναστάντι ἐκ τάφου καὶ ἀρχηγῷ τῆς ζωῆς ἡμῶν· καθελὼν γὰρ τῷ θανάτῳ τὸν θάνατον, τὸ νῖκος ἔδωκεν ἡμῖν, καὶ τὸ μέγα ἔλεος.

Lord, Thou hast been our refuge from generation to generation. I said: O Lord, have mercy on me; heal my soul, for I have sinned against Thee.

O Lord, to Thee have I fled for refuge; teach me to do Thy will, for Thou art my God.

For in Thee is the fountain of life; in Thy light we shall see light.

Continue Thy mercy unto those who know Thee.

Holy God, holy Mighty, holy Immortal, have mercy on us. (3)

Glory to the Father and the Son and the Holy Spirit.

Both now and ever and to the ages of ages. Amen.

Holy Immortal, have mercy on us.

Holy God, Holy Mighty, Holy Immortal, have mercy on us.

After the Doxology, sing the following Resurrectional Troparion.

Mode 4. (or the Mode of the week)

Today is salvation come unto the world. Let us sing unto the Author of our life Who arose from the grave; for, destroying death by death, He granted us the victory and great mercy.